ἤδη μάρτυρες διαρρήδην διδάσκουσιν. εἰ δὲ καὶ τὰς τέχνας 23
καὶ τὰς ἐπιστήμας καὶ τῶν δαιμόνων τὰς τελετὰς καὶ τὰ
πρῶτα στοιχεῖα παρὰ βαρβάρων ἐδιδάχθησαν Ἕλληνες καὶ
ἐπὶ τοῖς διδασκάλοις ἁβρύνονται, τί δήποτε ὑμεῖς, οὐδὲ
ξυνιέναι τὰ ὑπ᾽ ἐκείνων ξυγγεγραμμένα δυνάμενοι, παραι-
τεῖσθε μαθεῖν τὴν ἀλήθειαν παρ᾽ ἀνδρῶν θεόσδοτον σοφίαν
εἰσδεξαμένων; εἰ δέ, ὅτι οὐκ ἐκ τῆς Ἑλλάδος ἐβλάστησαν, 24
τὰς ἀκοὰς αὐτοῖς ὑπέχειν οὐ βούλεσθε, ὥρα ὑμῖν μήτε
Θαλῆν ὀνομάζειν σοφὸν μήτε Πυθαγόραν φιλόσοφον μήτε
Φερεκύδην τὸν ἐκείνου διδάσκαλον. ὁ μὲν γὰρ Φερεκύδης
Σύριος ἦν, οὐκ Ἀθηναῖος οὐδὲ Σπαρτιάτης οὐδέ γε Κορίν-
θιος· τὸν δὲ Πυθαγόραν Ἀριστόξενος καὶ Ἀρίσταρχος καὶ
Θεόπομπος Τυρρηνὸν εἶναί φασιν, ὁ δὲ Νεάνθης Τύριον
ὀνομάζει· τὸν δὲ Θαλῆν οἱ μὲν Μιλήσιον λέγουσι, Λέαν-
δρος δὲ καὶ Ἡρόδοτος Φοίνικα προσηγόρευσαν· καὶ μέντοι
καὶ ὁ Ἀριστοτέλης Σταγειρίτης ἦν, Σινωπεὺς δὲ ὁ Διογένης,
καὶ Ἀλκμὰν ὁ Πειρίθου Κροτωνιάτης, ὃν πρῶτόν φασι
περὶ φύσεως ξυγγράψαι λόγον· Ἀκραγαντῖνος δὲ ὁ Ἐμπε-
δοκλῆς, Σικελικὴ δὲ αὕτη πόλις.

Εἰ δὲ ἄρα τοῦτό φατε, ὡς ἔξω μὲν τῆς Ἑλλάδος καὶ 25
ἔφυσαν οἵδε οἱ ἄνδρες καὶ ἐτράφησαν, τὴν δέ γε Ἑλληνικὴν
ἠσκήθησαν γλῶτταν, πρῶτον μὲν ὁμολογεῖτε καὶ ἐν ἄλλοις
ἔθνεσιν ἄνδρας γεγενῆσθαι σοφούς· καὶ γὰρ δὴ καὶ Ζά-